ein nicht unwillkommenes Licht erhalten. Es ist bekannt, dass der mächtige Serbenczar, Stephan Dušan, der Starke, der eifersüchtig

---

ἀλλ' ἐργάζεσθαι ταῖς οἰκείαις χερσίν, ἵν' ἔχῃ καὶ τῷ χρείαν ἔχοντι μεταδιδόναι, αὐτὸς τοῦ διὰ βίου κλέπτειν καὶ λωποδυτεῖν οὐκ ἀφίσταται· οἱ περὶ τόκους καὶ συμβόλαια ἠσχολημένοι καὶ τὰς ἑτέρων συμφορὰς πόρον πονηρὸν πρὸς τὸ πλουτεῖν ἔχοντες, οὐ τῆς ὠμότητος καὶ τῆς ἀπανθρωπίας ἀποστάντες φιλάνθρωποι καὶ ἥμεροι φανῆναι τοῖς ὀφειλέταις βουλόμεθα, ἐκεῖνο ἐνθυμούμενοι ὅτι, ᾧ μέτρῳ μετροῦμεν, ἀντιμετριθήσεται ἡμῖν, οὐδὲ ἐλέῳ τὸν ἔλεον ἐπισπάσασθαι τοῦ δεσπότου σπουδάζομεν μυρίων καὶ αὐτοὶ ταλάντων ὀφειλέται τυγχάνοντες καὶ δυνάμενοι τῇ πρὸς τὸν σύνδουλον ἐπιεικείᾳ τὴν ἄφατον φιλοτιμίαν ἀντικτήσασθαι τοῦ δεσπότου· οἱ ἅρπαγες καὶ πλεονέκται καὶ τῶν πενήτων τοῖς δάκρυσιν ἐντρυφῶντες τοῦ πυρὸς τῆς Γεέννης οὐδέποτε μνημονεύομεν ἄλλην ἀπαλλαγὴν μηδεμίαν ἐκείνης οἰόμενοι ἢ τὴν ἀποχὴν τῆς πλεονεξίας, ἀλλ' ἀπατῶμεν ἑαυτοὺς τὰ τῶν πενήτων ἔχοντες δυνήσεσθαι βασιλείας οὐρανῶν ἐπιτυχεῖν, δέον πρῶτον μὲν ἀποστῆναι πλεονεξίας, εἶτα κατ' ἐκεῖνον τὸν Ζακχαῖον τὸν καλῶς χρησάμενον τῇ μετανοίᾳ τὰ ἠδικημένα ἀποδοῦναι καὶ ἐπὶ τούτοις τὰ ἡμίση τῶν ὑπαρχόντων διαδοῦναι τοῖς πένησιν.

Ἀλλὰ μὴ παραδώῃς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομα τὸ ἅγιόν σου, μηδὲ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων, ἀλλὰ τῇ συνήθει σου χρώμενος φιλανθρωπίᾳ ἵλεων ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ τῶν προσδοκωμένων ἐξάρπασον κακῶν. Ἰδοὺ γὰρ οἱ τῆς Ἄγαρ ἀδίκῳ χρώμενοι θυμῷ, καθάπερ ἄγριοι θῆρες τοῖς ἀδελφοῖς ἡμῶν ἐπέρχονται βουλόμενοι καταπιεῖν· ἀλλ' ὥσπερ ποτὲ τὸν Ἀσσύριον ἐταπείνωσας ἀοράτῳ δυνάμει σου καταστείλας καὶ ἐν μιᾷ νυκτὶ τοσαύτας νεκρῶν ἀπέδειξας μυριάδας, μὴ δὲ πληγῆς ἴχνους φαινομένης ἐν αὐτοῖς, ὡς ἂν μάλιστα δείξῃς τὴν δυναστείαν σου καὶ ὅτι πάντα φέρεις ὡς ἂν ἐθέλῃς τῷ ῥήματι τοῦ στόματός σου, οὕτω καὶ νῦν, δέσποτα παντοκράτορ, τῇ κραταιᾷ σου χειρὶ συμμάχησον ἡμῖν καὶ θραῦσον τοὺς ἐχθροὺς ἡμῶν, κατάστειλον τὸ φρόνημα τῶν βαρβάρων, τὴν ὀφρῦν αὐτῶν τὴν ἐπηρμένην κατάσπασον ἕως γῆς· γνώτωσαν πῶς ἰσχύει ὀρθοδόξων ἡ πίστις καὶ ὅτι ἡμεῖς ἐσμὲν λαός σου καὶ πρόβατα νομῆς σου· μνήσθητι τῶν θαυμασίων σου, ὧν ἐποίησας τῷ γένει τῶν ἀνθρώπων· θάλασσαν ἔσχισας, ὡς ἂν ἀβρόχως διαγάγῃς τὸν Ἱερουσαλὴμ καὶ τῆς δουλείας ἀπαλλάξῃς τοῦ Φαραὼ ἀδίκως πολεμηθέντα, ἥλιον ἔστησας, ὥστε τὸν Ἀμαλὴκ εἰς τέλος κατατροπώσασθαι ἐκτάσεον χειρῶν δικαίους. Καὶ νῦν, κύριε, πάντα τῇ σῇ βουλήσει ὑπόκειται καὶ τῷ νεύματι ἐπίσκεψαι ἡμᾶς ἐξ ἁγίου κατοικητηρίου σου καὶ δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, ἐπειδὴ πᾶσα ματαία ἀνθρώπου σωτηρία· ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν, ἵνα μήποτε εἴπωσι τὰ ἔθνη· ποῦ ἐστιν ὁ θεὸς αὐτῶν; ἐμφύτευσον τὸν φόβον σου ἐν ταῖς καρδίαις ἡμῶν, ἵν' ἀποστάντες τῶν πονηρῶν ἔργων λατρεύσωμέν σοι τῷ ἀληθινῷ θεῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ· μνήσθητι, κύριε, τῶν οἰκτιρμῶν σου καὶ πρόσδεξον ἡμᾶς ἐν συντρίβῃ καρδίας μετὰ τοῦ πιστοῦ σου λαοῦ τούτου προσερχομένους καὶ δεομένους σου. Κρά-